# ΠΡΟΣ ΦΙΛΗΜΟΝΑ

**1** Παῦλος δέσμιος Χριστοῦ Ἰησοῦ καὶ Τιμόθεος ὁ ἀδελφὸς Φιλήμονι
τῷ ἀγαπητῷ καὶ συνεργῷ ἡμῶν **2** καὶ Ἀπφίᾳ τῇ ⸀ἀδελφῇ καὶ Ἀρχίππῳ τῷ
συστρατιώτῃ ἡμῶν καὶ τῇ κατ᾽ οἶκόν σου ἐκκλησίᾳ· **3** χάρις ὑμῖν καὶ εἰρήνη
ἀπὸ θεοῦ πατρὸς ἡμῶν καὶ κυρίου Ἰησοῦ Χριστοῦ.

**4** Εὐχαριστῶ τῷ θεῷ μου πάντοτε μνείαν σου ποιούμενος ἐπὶ τῶν
προσευχῶν μου, **5** ἀκούων σου τὴν ἀγάπην καὶ τὴν πίστιν ἣν ἔχεις ⸀πρὸς τὸν
κύριον Ἰησοῦν καὶ εἰς πάντας τοὺς ἁγίους, **6** ὅπως ἡ κοινωνία τῆς πίστεώς
σου ἐνεργὴς γένηται ἐν ἐπιγνώσει παντὸς ἀγαθοῦ ⸀τοῦ ἐν ἡμῖν εἰς ⸀Χριστόν·
**7** ⸀χαρὰν γὰρ ⸂πολλὴν ἔσχον⸃ καὶ παράκλησιν ἐπὶ τῇ ἀγάπῃ σου, ὅτι τὰ
σπλάγχνα τῶν ἁγίων ἀναπέπαυται διὰ σοῦ, ἀδελφέ.

**8** Διό, πολλὴν ἐν Χριστῷ παρρησίαν ἔχων ἐπιτάσσειν σοι τὸ ἀνῆκον, **9** διὰ
τὴν ἀγάπην μᾶλλον παρακαλῶ, τοιοῦτος ὢν ὡς Παῦλος πρεσβύτης νυνὶ δὲ
καὶ δέσμιος ⸂Χριστοῦ Ἰησοῦ⸃— **10** παρακαλῶ σε περὶ τοῦ ἐμοῦ τέκνου, ὃν
ἐγέννησα ἐν τοῖς ⸀δεσμοῖς Ὀνήσιμον, **11** τόν ποτέ σοι ἄχρηστον νυνὶ ⸀δὲ σοὶ καὶ
ἐμοὶ εὔχρηστον, **12** ὃν ἀνέπεμψά ⸂σοι αὐτόν, τοῦτ᾽ ἔστιν τὰ ἐμὰ σπλάγχνα⸃·
**13** ὃν ἐγὼ ἐβουλόμην πρὸς ἐμαυτὸν κατέχειν, ἵνα ὑπὲρ σοῦ ⸂μοι διακονῇ⸃
ἐν τοῖς δεσμοῖς τοῦ εὐαγγελίου, **14** χωρὶς δὲ τῆς σῆς γνώμης οὐδὲν ἠθέλησα
ποιῆσαι, ἵνα μὴ ὡς κατὰ ἀνάγκην τὸ ἀγαθόν σου ᾖ ἀλλὰ κατὰ ἑκούσιον·
**15** τάχα γὰρ διὰ τοῦτο ἐχωρίσθη πρὸς ὥραν ἵνα αἰώνιον αὐτὸν ἀπέχῃς,
**16** οὐκέτι ὡς δοῦλον ἀλλὰ ὑπὲρ δοῦλον, ἀδελφὸν ἀγαπητόν, μάλιστα ἐμοί,
πόσῳ δὲ μᾶλλον σοὶ καὶ ἐν σαρκὶ καὶ ἐν κυρίῳ.

---

**2 ἀδελφῇ** WH Treg NIV ] ἀγαπητῇ RP **5 πρὸς** NIV RP ] εἰς WH Treg **6 τοῦ** WH NIV RP ] – Treg • **Χριστόν** WH Treg NIV ] + Ἰησοῦν RP **7 χαρὰν** WH Treg NIV ] Χάριν RP • **πολλὴν ἔσχον** WH Treg NIV ] ἔχομεν πολλὴν RP **9 Χριστοῦ Ἰησοῦ** WH Treg NIV ] Ἰησοῦ Χριστοῦ RP **10 δεσμοῖς** WH Treg NIV ] + μου RP **11 δὲ** WH Treg RP ] + καὶ NIV **12 σοι αὐτόν … σπλάγχνα** WH Treg NIV ] σὺ δὲ αὐτόν … σπλάγχνα προσλαβοῦ RP **13 μοι διακονῇ** WH Treg NIV ] διακονῇ μοι RP

**17** Εἰ οὖν με ἔχεις κοινωνόν, προσλαβοῦ αὐτὸν ὡς ἐμέ. **18** εἰ δέ τι ἠδίκησέν
σε ἢ ὀφείλει, τοῦτο ἐμοὶ ⸀ἐλλόγα· **19** ἐγὼ Παῦλος ἔγραψα τῇ ἐμῇ χειρί,
ἐγὼ ἀποτίσω· ἵνα μὴ λέγω σοι ὅτι καὶ σεαυτόν μοι προσοφείλεις. **20** ναί,
ἀδελφέ, ἐγώ σου ὀναίμην ἐν κυρίῳ· ἀνάπαυσόν μου τὰ σπλάγχνα ἐν ⸀Χριστῷ.
**21** πεποιθὼς τῇ ὑπακοῇ σου ἔγραψά σοι, εἰδὼς ὅτι καὶ ὑπὲρ ⸀ἃ λέγω ποιήσεις.
**22** ἅμα δὲ καὶ ἑτοίμαζέ μοι ξενίαν, ἐλπίζω γὰρ ὅτι διὰ τῶν προσευχῶν ὑμῶν
χαρισθήσομαι ὑμῖν.

**23** ⸀Ἀσπάζεταί σε Ἐπαφρᾶς ὁ συναιχμάλωτός μου ἐν Χριστῷ Ἰησοῦ,
**24** Μᾶρκος, Ἀρίσταρχος, Δημᾶς, Λουκᾶς, οἱ συνεργοί μου.

**25** Ἡ χάρις τοῦ ⸀κυρίου Ἰησοῦ Χριστοῦ μετὰ τοῦ πνεύματος ⸀ὑμῶν.

---

**18** ***ἐλλόγα*** WH Treg NIV ] *ἐλλόγει* RP **20** ***Χριστῷ*** WH Treg NIV ] *κυρίῳ* RP **21** ***ἃ*** WH Treg NIV ] *ὃ* RP **23** ***Ἀσπάζεταί*** WH Treg NIV ] *Ἀσπάζονταί* RP **25** ***κυρίου*** WH NIV ] + *ἡμῶν* Treg RP • ***ὑμῶν*** WH Treg NIV ] + *Ἀμήν* RP